Σηλων δῆμος ὁ Σηλωνι· τῷ Φαρες δῆμος ὁ Φαρες· τῷ Ζαρα
δῆμος ὁ Ζαραϊ. 17καὶ ἐγένοντο υἱοὶ Φαρες· τῷ Ασρων δῆμος ὁ 17
Ασρωνι· τῷ Ιαμουν δῆμος ὁ Ιαμουνι. 18οὗτοι δῆμοι τῷ Ιουδα κατὰ 18
τὴν ἐπισκοπὴν αὐτῶν, ἓξ καὶ ἑβδομήκοντα χιλιάδες καὶ πεντακόσιοι.

19Καὶ υἱοὶ Ισσαχαρ κατὰ δήμους αὐτῶν· τῷ Θωλα δῆμος ὁ 19
Θωλαϊ· τῷ Φουα δῆμος ὁ Φουαϊ· 20τῷ Ιασουβ δῆμος ὁ Ιασουβι· 20
τῷ Σαμαραν δῆμος ὁ Σαμαρανι. 21οὗτοι δῆμοι Ισσαχαρ ἐξ ἐπισκέ- 21
ψεως αὐτῶν, τέσσαρες καὶ ἑξήκοντα χιλιάδες καὶ τριακόσιοι.

22Υἱοὶ Ζαβουλων κατὰ δήμους αὐτῶν· τῷ Σαρεδ δῆμος ὁ Σαρεδι· 22
τῷ Αλλων δῆμος ὁ Αλλωνι· τῷ Αλληλ δῆμος ὁ Αλληλι. 23οὗτοι 23
δῆμοι Ζαβουλων ἐξ ἐπισκέψεως αὐτῶν, ἑξήκοντα χιλιάδες καὶ
πεντακόσιοι.

24Υἱοὶ Γαδ κατὰ δήμους αὐτῶν· τῷ Σαφων δῆμος ὁ Σαφωνι· 24
τῷ Αγγι δῆμος ὁ Αγγι· τῷ Σουνι δῆμος ὁ Σουνι· 25τῷ Αζενι δῆ- 25
μος ὁ Αζενι· τῷ Αδδι δῆμος ὁ Αδδι· 26τῷ Αροαδι δῆμος ὁ Αροαδι· 26
τῷ Αριηλ δῆμος ὁ Αριηλι. 27οὗτοι δῆμοι υἱῶν Γαδ ἐξ ἐπισκέψεως 27
αὐτῶν, τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.

28Υἱοὶ Ασηρ κατὰ δήμους αὐτῶν· τῷ Ιαμιν δῆμος ὁ Ιαμινι· τῷ 28
Ιεσου δῆμος ὁ Ιεσουι· τῷ Βαρια δῆμος ὁ Βαριαϊ· 29τῷ Χοβερ δῆ- 29
μος ὁ Χοβερι· τῷ Μελχιηλ δῆμος ὁ Μελχιηλι. 30καὶ τὸ ὄνομα θυγα- 30
τρὸς Ασηρ Σαρα. 31οὗτοι δῆμοι Ασηρ ἐξ ἐπισκέψεως αὐτῶν, τρεῖς 31
καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.

32Υἱοὶ Ιωσηφ κατὰ δήμους αὐτῶν· Μανασση καὶ Εφραιμ. — 32
33υἱοὶ Μανασση· τῷ Μαχιρ δῆμος ὁ Μαχιρι· καὶ Μαχιρ ἐγέννησεν 33
τὸν Γαλααδ· τῷ Γαλααδ δῆμος ὁ Γαλααδι. 34καὶ οὗτοι υἱοὶ Γαλααδ· 34
τῷ Αχιεζερ δῆμος ὁ Αχιεζερι· τῷ Χελεγ δῆμος ὁ Χελεγι· 35τῷ Εσριηλ 35
δῆμος ὁ Εσριηλι· τῷ Συχεμ δῆμος ὁ Συχεμι· 36τῷ Συμαερ δῆμος 36
ὁ Συμαερι· καὶ τῷ Οφερ δῆμος ὁ Οφερι. 37καὶ τῷ Σαλπααδ υἱῷ Οφερ 37
οὐκ ἐγένοντο αὐτῷ υἱοί, ἀλλ᾽ ἢ θυγατέρες, καὶ ταῦτα τὰ ὀνόματα
τῶν θυγατέρων Σαλπααδ· Μαλα καὶ Νουα καὶ Εγλα καὶ Μελχα
καὶ Θερσα. 38οὗτοι δῆμοι Μανασση ἐξ ἐπισκέψεως αὐτῶν, δύο καὶ 38
πεντήκοντα χιλιάδες καὶ ἑπτακόσιοι.

17 ιαμουηλ ... ιαμουηλι A || 18 τω] του A | επισκεψιν A || 20 ο 1$^{0}$ > B | σαμαραν Ra.] -ραμ B*, σαμραμ B$^{c}$, αμβραν A$^{(\dagger)}$ | σαμαραν(ε)ι B$^{*(\dagger)}$] σαμραμει B$^{c}$, αμβραμει A || 21 τριακοσιοι] τετρακ. A || 22 ο ult. > B† || 24—27 = 𝔐 15—18 || 26 αροαδι bis] αροδει B*† | τω 2$^{0}$ — fin. > A || 27 υιων > A | τεσσαρακ. χιλ. *O*†] pr. τεσσαρες και B, + και τετρακισχιλιοι A || 28—31 = 𝔐 44—47 || 28 ιεσου] ιεσουι A B$^{c}$ | βαριαι] βαρια B*(uid.)†, βαραι A || 29 μελλιηλ ... μελλιηλει B*† || 30 θυγατρος] pr. της A | σαρα] καρα B*† || 31 πεντηκοντα *O*†] τεσσερακ. rel. | τετρακοσιοι *O*†] εξακοσιοι rel. || 32—47 = 𝔐 28—43 || 34 τω 1$^{0}$ V] > B A | αχιεζερι] -ζειρει B† | χελεκ ... χελεκι A || 35 συχεμι] -μεει B* || 36 τω ult. > B || 38 πεντηκοντα] εξηκ. A | επτακοσιοι] πεντακ. A†